ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

βαλλοὺς καὶ Σερβίλλιος Σκιπίων τοὺς Λυσιτανούς, ἐπανῆκον. Θρίαμβοι μὲν κατὰ Ἰουγούρθου καὶ τῷ Μετέλλῳ καὶ τῷ Μαρίῳ παρὰ τῆς πόλεως ἐψηφίσθησαν, ὧν ἐφάνη λαμπρότερος ὁ Μαρίου, Ἰουγούρθαν σὺν τοῖς δύο παισὶ πρὸ τοῦ ἅρματος ἔχων, ὃν δεσμωτηρίῳ παραδόντες οἱ Ῥωμαῖοι διεχρήσαντο.

## ΒΙΒΛΙΟΝ Ε΄.

1. Ὅτε δὲ ὁ πρὸς Ἰουγούρθαν ἐπράττετο πόλεμος, πολλαῖς ἑτέραις μάχαις ἐκράτουν Ῥωμαῖοι διὰ τῶν ὑπάτων. Μανίλιος γὰρ καὶ Σκιπίων Κίμβρους καὶ Τεύτονας καὶ Τουγούρους καὶ Ἄμβρονας· ἔθνη δέ ἐστι ταῦτα Γερμανῶν τε καὶ Γάλλων· κατεπολέμησαν. Οὗτοι μετὰ τοσαύτης ἐπανέστησαν τῷ δήμῳ στρατιᾶς, ὅση ἤνεγκε φόβον οὐχ ἧττω τῆς Ἀννίβου τυραννίδος. Περὶ αὐτῆς γοῦν ἔδεισαν Ῥωμαῖοι τῆς πόλεως. Πολλάκις γοῦν συμμίξαντες καὶ πολλάκις ἡττηθέντες ἔμενον ἔτι πολέμιοι· ἀλλὰ Μάριος μετὰ τὴν κατὰ Ἰουγούρθα νίκην ἐπὶ Κίμβρους καὶ Τεύτονας ἐξεπέμφθη. Καὶ παρασυρομένου τοῦ πολέμου, τρίτον τε αὐτῷ καὶ τέταρτον ἐπισυνήφθη τὰ τῆς ἀρχῆς τοῦ ὑπάτου. Κατὰ δὲ τὴν τετάρτην ὑπατείαν κοινωνὸς αὐτῷ ἦν τῆς ὑπατείας Κύντιος Λουτάντιος Κατοῦλος. Ἄμφω τοίνυν συνέμιξαν τοῖς Κίμβροις, καὶ δύο νικῶσι μάχας οὕτω σφοδρῶς, ὡς εἴκοσι μὲν μυριάδας ἀνδρῶν πεσεῖν, αἰχμαλώτων δὲ ὀκτὼ γενέσθαι καὶ προσέτι Τευτόβολον τὸν στρατηγὸν τῶν πολεμίων. Ὑπὲρ ταύτης οὖν τῆς νίκης καὶ πέμπτον αὐτῷ τὰ τῆς ἀρχῆς ἐψηφίσθη, καὶ ταῦτα ἀπόντι.

2. Οὐ μὴν ἡσύχασαν Κίμβροι καὶ Τεύτονες, ἀλλ' ἔτι τῷ πλήθει κρατοῦντες· οὐχ ἧττον γὰρ ἦν τοῦ διεφθαρμένου τὸ λειπόμενον· τὰ σφέτερα αὐτῶν ἀφέντες περιῆλθον ἐπὶ τὴν Ἰταλίαν. Ὑπὸ τῶν αὐτῶν δὲ αὖθις, Μαρίου τε καὶ Κατούλου, κατεπολεμήθησαν. Ἔνθα δὴ καὶ

1. *Σκιπίων* Ι : *Σκηπίων* ΑΜΣ : *Κηπίων* ὀρθῶς Δ  7. *Μανίλιος* ΙΣΔ : *μανήλιος* ΑΜ. Γραπτέον *Μάλλιος*  *Σκιπίων* Ι : *Σκηπίων* ΑΜΣ : *Κηπίων* ὀρθῶς Δ
8. *Τουγούρους* Π : *τουγούρους* μετὰ διάξεσιν τινων γραμμάτων Μ  *Ἄμβρονας* Π : *Ἄμβρωνας* διώρθωσε Δ  9. *οὗτοι* Π : *οὗτοι γὰρ* Δ  10. *στρατιᾶς* Π : *στρατιᾶς* ἐκ τοῦ *στρατιὰς* Δ  11. *περὶ* Π : *καὶ περὶ* Δ  *γοῦν* ΑΜΙ : λείπει ΣΔ  13. *Ἰουγούρθα* Π : *Ἰουγούρθου* Δ  17. *Λουτάντιος* Ι : *Λουττάντιος* ΑΣ : *Λουττάντιος* τοῦ πρώτου τ γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ : *Λουτάτιος* διώρθωσε Δ  *Κατοῦλος* Π. Γραπτέον *Κάτουλος*  19. *Τευτόβολον* Π. Γραπτέον *Τευτόβοδον*  *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* Δ  25. *τε καὶ* Π : *τε* Μ

Ε. Γαλάτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαμπρότερον ἐγένετο τὸ ἔργον Κατούλου. Καὶ πίπτουσιν ἐν τῇ τελευταίᾳ μάχῃ δέκα καὶ τέσσαρες ἀνδρῶν μυριάδες, ἓξ δὲ αἰχμαλώτων ἄγονται· τριακοσίων μόνον ἐκ τοῦ ῥωμαϊκοῦ πεσόντων στρατοῦ. Στρατιωτικὰ δὲ σημεῖα ὑπὸ Ῥωμαίους ἐγένοντο τρία καὶ τριάκοντα· ὧν ἓν μὲν καὶ τριάκοντα εἷλον οἱ ὑπὸ Κατούλῳ μαχόμενοι, δύο δὲ ὧν ἡγεῖτο Μάριος· ἑκάτεροι δὲ ὅμως ἐθριάμβευσαν.

3. Τῷ δὲ ἑξακοσιοστῷ καὶ πεντηκοστῷ καὶ ἐνάτῳ τῆς πόλεως ἔτει τὴν μὲν ὕπατον εἶχον ἀρχὴν Σέξτος Ἰούλιος Καῖσαρ καὶ Λούκιος Μάρκιος Φίλιππος, σχεδὸν δὲ ἅπας ἡσύχαζε πόλεμος. Ἀλλ' ἐξαίφνης Πικένται καὶ Πελίγνοι, ἀστασιάστως τὸν παρελθόντα ἅπαντα χρόνον ὑπακούσαντες Ῥωμαίοις, ἀπεθρασύνοντο καὶ τὸ ἴσον αὐτοῖς ὑπάρχειν ἐβούλοντο πρὸς τὸν δῆμον. Ἐγένετο τοίνυν βαρὺς οὗτος πόλεμος, ὡς καὶ τὸν ὕπατον ἐν αὐτῷ πεσεῖν, ἄριστον ἄνδρα, Πούβλιον Ῥουτίλιον, Σκιπίωνά τε τῶν ἐπιφανῶν νεανίσκον καὶ Πόρκιον Κάτωνα, καὶ αὐτὸν ὕπατον. Ἡγοῦντο δὲ τοῦ στρατοῦ τῶν πολεμίων, Πικέντων καὶ Μάρσων, Τίτιος Βήττιος, Ἱέριος Ἀσάνιος, Τίττος Ἑρρέννιος, Αὖλος Κλουέντιος. Οὗτος ὁ θόρυβος ἐποίησε Μάριον ἕκτην δέξασθαι τὴν ὕπατον ἀρχήν· τὸ δὲ ἔργον ἐπράχθη παρὰ Πομπηΐου τε καὶ Σύλλου, τῇ μάχῃ καὶ αὐτῶν ἐπιστατούντων· Σύλλας γοῦν Κλουέντιον, τὸν μαχιμώτατον τῶν ἐναντίων στρατηγόν, μετὰ πάσης τῆς δυνάμεως εἷλε τέσσαρσιν ἐνιαυτοῖς, ἀεί τε συμπλεκόμενος καὶ νικῶν ἐν τῷ παντὶ χρόνῳ φαίνεται μόνον ἕνα τῶν οἰκείων ἀποβαλὼν στρατιώτην. Πεντεκαιδεκάτῳ μὲν οὖν ἔτει τέλος ἔσχεν οὗτος ὁ πόλεμος, τοῦ Σύλλου κατορθώσαντος αὐτὸν ἐν ὑπατικῇ λοιπὸν ἐξουσίᾳ· τὰ γὰρ πρότερα πραίτωρ ἐτύγχανεν εἰργασμένος.

2. *τέσσαρες* Π : *τέσσαρες* ἐκ τοῦ *τέσσαρας* Μ  5. *Κατούλῳ* Π : *Κατούλου* Δ  7. *ἐνάτῳ* ἔγραψα : *ἐννάτῳ* Π  8. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π  9. *ἐξαίφνης* Π : *ἐξαίφνης* ἐκ τοῦ *ἐξέφνης* Μ  10. *Πικένται* Π : *Πικένται Μαρσοί τε* Δ  11. *ἀπεθρασύνοντο* Π : *ἀπεθρασύναντο* Δ  *ἴσον* Π : *ἶσον* Ι  13. *τὸν ὕπατον* Δ : *ὑπὸ τῶν* Ι : *ὑπὸ τοῦ* ΑΜΣ  14. *Σκιπίωνα* Ι : *Σκηπίωνα* ΑΜΣ : *Κηπίωνά τε* ὀρθῶς Δ  16. *Τίτιος* Π : *Τίτος* ὀρθῶς Δ  *Ἀσάνιος* ΑΜΙ : *Ἀσιάνιος* Σ : *Ἀσίνιος* ὀρθῶς Δ  *Ἑρρέννιος* Π. Γραπτέον *Ἑρέννιος*  *Τίττος* Π : *Τίτος* ὀρθῶς Δ  17. *ὁ* Π : *οὖν ὁ* Δ  21. *τέσσαρσιν* Π : *τέσσαρσίν τε* Δ  *τε* Π : *καὶ* Δ

23. Ἐν τῇ ῷϙ' *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ὑπατείας σύλλου, ἔτη* $\overline{\chi\xi\beta}$ *(*$\overline{\chi o\beta}$ ἐκ τοῦ $\overline{\chi\xi\beta}$ Α*) τοῦτον τὸν σύλλαν ὁ πλούταρχος παράλληλον τίθησιν τῷ λυσάνδρῳ* (κάτωθεν ταύτης τῆς λέξεως μελαίνης μετὰ τὸ λοιπὸν ἐρυθρὸν σημείωμα γεγραμμένης ἀδιάγνωστά τινα ἄλλα ἐπ' ἴσης μέλανα γράμματα Α) ΑΜ  *πεντεκαιδεκάτῳ* Π : *πέμπτῳ* ὀρθῶς Δ

4. Τῷ δὲ ἑξακοσιοστῷ καὶ ἑβδομηκοστῷ καὶ δευτέρῳ τῆς πόλεως ἔτει πρῶτος ἐμφύλιος ἀνεφύη πόλεμος, καὶ κατὰ τὸν αὐτὸν τοῦτον ἐνιαυτὸν ὁ πρὸς Μιθριδάτην, μέγιστος εἴπερ τις ἕτερος. Ὁ μὲν οὖν ἐμφύλιος αἰτίαν ἔσχε τήνδε. Μάριος, ἐπὶ τὴν ἕκτην ὑπατείαν κληθείς, συνύπατον ἔσχε τὸν Σύλλαν, ᾧ τὰ πρὸς Μιθριδάτην ἀπεκληρώθη. Τοῦ Σύλλου δὲ περὶ τὴν Καμπανίαν διατρίβοντος· ἐβούλετο γὰρ ὁδοῦ πάρεργον ποιήσασθαι τὴν τῶν ἰταλικῶν ἐπανόρθωσιν πραγμάτων καὶ τὰ λείψανα τῆς παλαιᾶς ἀνελεῖν στάσεως, ὁ Μάριος πείθει τὸν δῆμον ἐπ᾽ αὐτὸν μεταθεῖναι τὴν μιθριδατικὴν μάχην. Καὶ συνήργησεν αὐτῷ πολὺς ὢν ἤδη λοιπὸν ὁ περὶ Μιθριδάτου λόγος ὡς ἤδη τήν τε Ἀσίαν καὶ τὴν Ἀχαΐαν κατειληφότος. Τοῦτο πρὸς ὀργὴν ἐκίνησε τὸν Σύλλαν, καὶ μετὰ τοῦ στρατεύματος εἰς τὴν Ῥώμην ἐπανῆκε· καὶ εἰς χεῖρας ἀφικνεῖται Μαρίῳ τε καὶ Σουλπικίῳ. Πρῶτος δὲ μεθ᾽ ὅπλων οὗτος ἐπὶ τῆς πόλεως ὤφθη. Μάριος μὲν οὖν, τοῦ Σουλπικίου πεσόντος, διεσώθη φυγών· Σύλλας δέ, χειροτονήσας τοὺς τοῦ μέλλοντος ἔτους ὑπάτους, Γνέον τε Ὀκτάβιον καὶ Λούκιον Κορνήλιον Κίνναν, ὥρμησε πρὸς τὴν Ἀσίαν.

5. Μεταξὺ γὰρ ὁ Μιθριδάτης, τοῦ τε Πόντου κρατῶν καὶ τῆς Μικρᾶς καλουμένης Ἀρμενίας καὶ πάσης τῆς Ποντικῆς θαλάσσης τῆς κύκλῳ τοῦ Βοσπόρου, Νικομήδην ἐπειρᾶτο, φίλον ὄντα καὶ σύμμαχον Ῥωμαίων, τῆς Βιθυνίας ἐκβάλλειν, τῷ τε δήμῳ προηγόρευσε τῷ Ῥωμαίων ὑβρισμένος ἀμύνεσθαι τὸν Νικομήδην, οὐκ αὐτοῖς ἀντιτταττόμενος. Ὁ μὲν οὖν δῆμος ἀπεκρίνατο πόλεμον αὐτὸν ἐφ᾽ ἑαυτῷ κινήσων ῥωμαϊκόν, εἰ μὴ Νικομήδους ἀποσταίη. Βαρέως δὲ ἐνεγκὼν ὁ Μιθριδάτης ἔπεισε Καππαδόκας, καὶ τὸν Ἀριοβαρζάνην, ὑπόσπονδον ὄντα Ῥωμαίοις, ἐξέβαλε τῶν βασιλείων. Εἶτα μετέστησε τὴν στρατιὰν εἰς Βιθυνίαν τε καὶ Παφλαγονίαν, καὶ τοὺς ἐκεῖ βασιλεύοντας ἐξήλασε, Ῥωμαίων ὄντας ὑπηκόους τε καὶ φίλους, Πυλαιμένην τε καὶ Νικομήδην. Ἐκεῖθεν ἐπὶ τὴν Ἔφεσον ἔσχε τὸν δρόμον, καὶ προγράμματι τοὺς καταλαμβανομένους ἐπὶ τῆς Ἀσίας Ῥωμαίους ἀναιρεθῆναι προσέταξε.

1. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Δ  3. *εἴπερ* ΙΜΔ : *εἰπέρ* ΑΣ  6. *ἐβούλετο* Π : *ἠβούλετο* Ι  10. *Μιθριδάτου* ΙΔ : *μιθριδά* Α : *Μιθριδάτην* ΜΣ  11. *κατειληφότος* Π : *κατειλοφότος* Δ  *τοῦτο* Π : *τοῦτο δὲ* Δ  14. *δὲ* Δ : *τὲ* Π  15. *Σύλλας* Π : *σύλας* Α  16. *Γνέον* Π. Γραπτέον *Γναῖον*  18. *κρατῶν* Π : *κρατῶν ἐκ τοῦ κρατὸν* Μ  19. *Ἀρμενίας* ΙΣΔ : *ἀρμενίας* ΑΜ  22. *Νικομήδην* Π : *νικομίδην* Μ  29. *ἐκεῖθεν* Π : *ἐκεῖθεν δὲ* Δ

Ε.Υ. Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Προσετέθη δὲ αὐτῷ καὶ ἡ τῶν Ἀθηναίων πόλις, Ἀρίστωνος αὐτὴν τοῦ Ἀθηναίου προπιόντος. Ἐπραγματεύετο γὰρ ἤδη τῆς Ἀχαΐας τὴν κτῆσιν, Ἀρχέλαον ἐκπέμψας σὺν ἑκατὸν καὶ εἴκοσι χιλιάσι πεζῶν τε καὶ ἱππέων, καὶ ὃς ἅπασαν αὐτῷ προσηγάγετο τὴν Ἑλλάδα. Σύλλας τοίνυν, τῷ Πειραιεῖ προσκαθεσθείς, τὰς μὲν Ἀθήνας εἷλεν· ἐπεξελθὼν δὲ Ἀρχελάῳ καὶ συμμίξας, μετὰ τοσαύτης ἐκράτησε περιουσίας, ὥστε δέκα μὲν Ἀρχελάῳ διασωθῆναι χιλιάδας ἐκ τῶν ἑκατὸν εἴκοσι, τοῦ δὲ ῥωμαϊκοῦ στρατεύματος τρεῖς καὶ δέκα μόνον ἄνδρας πεσεῖν. Ἀλλ᾿ ὁ Μιθριδάτης, τὴν Ἀρχελάου δυσπραγίαν γνούς, ἀπέστειλεν ἑβδομήκοντα χιλιάδας αὐτῷ, τοὺς ἀρίστους ἐκ τῆς Ἀσίας ἐπιλεξάμενος. Γίγνεται δὴ δευτέρα συμπλοκή, καὶ οὐ μετὰ τῆς ἴσης ἑκάτεροι διεκρίθησαν τύχης. Ἡττᾶται γὰρ Ἀρχέλαος, καὶ πίπτουσιν αὐτοῦ δεκαπέντε χιλιάδες, καὶ πρὸς Διογένης ὁ Ἀρχελάου παῖς· αὐτὸς δὲ ἐν τοῖς πλησίον ἕλεσιν τρεῖς διαλαθὼν ἡμέρας ἐσώθη. Ταῦτα τὸν Μιθριδάτην ἠνάγκασε περὶ σπονδῶν ποιήσασθαι πρὸς τὸν Σύλλαν λόγους, ἑτέρους ἤδη κατορθοῦντα πολέμους.

7. Σκορδίσκους γὰρ καὶ Δαλμάτας καὶ Δαρδάνους τοὺς μὲν χερσί, τοὺς δὲ φόβῳ συνῆψε Ῥωμαίοις. Ἔνθα δὴ καὶ οἱ τοῦ Μιθριδάτου παραγενόμενοι πρέσβεις τὰ παρὰ τοῦ βασιλέως ἀπήγγειλαν. Ὁ δὲ οὐ πρότερον ἔφη περὶ σπονδῶν ἀκούσεσθαι, πρὶν ἂν ἀπολιπὼν ἅπασαν ἣν ἐφόδῳ κατέσχε γῆν ἐπὶ τὴν προτέραν αὐτοῦ βασιλείαν ἐπανέλθοι. Ἐπεὶ δὲ καὶ εἰς λόγους ἦλθεν ὁ Μιθριδάτης αὐτῷ, τῶν ἐμφυλίων αὐτὸν καλούντων θορύβων, ἔδωκε τὰς σπονδάς· ἠβούλετο γὰρ τὰ πολιτικὰ καθιστὰς μηδέποτε κατόπιν αὐτοῦ πολέμιον ἔχειν. Εὐθὺς οὖν ἐπὶ τὴν πόλιν ἔδραμεν, ἤδη τοῦ Μαρίου καὶ Κίννου, ὃν ὕπατον ὁ Σύλλας ἐχειροτόνησε, συμπνευσάντων ἀλλήλοις καὶ πολλὰ κατὰ τὴν Ῥώμην ἐργασαμένων. Πολλοὺς γὰρ τῶν συγκλητικῶν διεχρήσαντο καὶ πολλῶν τὰς οὐσίας ἐδήμευσαν, τὴν οἰκίαν τε τοῦ Σύλλου καθελόντες καὶ ἀνατρέψαντες, τὴν γαμετὴν καὶ τοὺς παῖδας εἰς φυγὴν ἔτρεψαν. Ἀμέλει τῆς συγκλήτου τὸ λειπόμενον ἐπὶ τὸν Σύλλαν ὥρμησεν, ὥστε βοηθῆσαι τοσούτῳ κακῷ. Παραγενόμενος οὖν εἰς τὴν Ἰταλίαν ὁ Σύλ-

1. *αὐτῷ* ΑΜΣ : *αὐτῶν* ΙΔ  *Ἀθηναίων* ΑΙΔ : *Ἀθηνῶν* ΜΣ  *Ἀρίστωνος* Η : *Ἀριστίωνος ἐκ τοῦ Ἀρίστωνος* Μ. Γραπτέον *Ἀριστίωνος*  11. *γίγνεται* Δ : *γίνεται* Η  14. *ἕλεσιν* ΑΜΙ : *ἕλεσι* ΣΔ  15. *ποιήσασθαι* Η : *ποήσασθαι* Μ
16. *κατορθοῦντα* ΙΣΔ : *κατορθοῦντος* ΑΜ  19. *ἀπήγγειλαν* Η : *ἐπήγγειλαν* Μ  *ἀπολιπὼν* Η : *ἀπολειπὼν* Ι  22. *αὐτὸν* Η : *αὐτῶν* Δ  28. *οἰκίαν* Α, Sylburg, Δ : *οὐσίαν* ΜΙΣ

λας Νορβανὸν καὶ Σκιπίωνα τοὺς ὑπάτους, οἳ κατὰ τὴν Μαρίου ταραχὴν ἐκεχειροτόνηντο, μάχῃ ἐνίκησε, πρῶτον μὲν Νορβανὸν περὶ τὴν Καπύην, οὗ χιλιάδας μὲν διέφθειρεν ἕξ, εἷλε δὲ τοσαύτας ἑτέρας, δεύτερον δὲ τὸν Σκιπίωνα, ὃς καὶ παρέδωκεν ἑαυτὸν σὺν τῷ στρατεύματι.

8. Γενομένων δὲ ἑτέρων κατὰ τὴν Ῥώμην ὑπάτων, Μαρίου τε τοῦ παιδὸς καὶ Παπιρίου Κάρβωνος, τὸν Μάριον καταπολεμήσας καὶ πεντεκαίδεκα χιλιάδας αὐτοῦ διαχρησάμενος, κατέλαβε τὴν πόλιν, ἐπακολουθῆσαί τινας φεύγοντι τῷ Μαρίῳ κελεύσας ἐκ τοῦ στρατεύματος, οὓς δείσας ἐκεῖνος ἐπήγαγεν ἑαυτῷ τελευτήν. Ἐν δὲ ταύταις πάσαις ταῖς μάχαις τῇ μὲν πρὸς τοὺς προτέρους ὑπάτους τέσσαρας καὶ εἴκοσι μόνους ἐκ τῆς αὐτοῦ στρατιᾶς ἀπώλεσεν ὁ Σύλλας, τῇ δὲ πρὸς τοὺς ἑτέρους τεσσαράκοντα. Μετὰ δὲ ταῦτα γίγνεται καὶ ἑτέρα μάχη τῷ Σύλλᾳ πρὸς Λαμπώνιον καὶ Καρινάτην, στρατηγοὺς τοῦ Μαρίου, κατ' αὐτῆς τῆς Ῥώμης τὰ προπύλαια, ὅθι περ ἡ Κυλλήνη καλουμένη πύλη. Ἀντεττάτοντο δὲ αὐτῷ χιλιάδες ἑβδομήκοντα. Τούτων δώδεκα μὲν εὐθὺς προσεχώρησαν τῷ Σύλλᾳ, οἱ λοιποὶ δὲ οἱ μὲν κατ' αὐτὴν τὴν παράταξιν, οἱ δὲ φεύγοντες, οἱ δὲ πρὸς τὰς παρεμβολὰς καταφεύγοντες ἀνῃρέθησαν· καὶ κόρος οὐκ εἶχε τοὺς φονεύοντας. Ἐνταῦθα δὴ καὶ ὁ Κάρβων, ὁ τῶν ὑπάτων ἕτερος, φεύγει πρὸς τὴν Σικελίαν, κἀκεῖ δέχεται τὴν τελευτὴν ὑπὸ τοῦ Πομπηίου. Τοῦτον γὰρ ὁ Σύλλας, νέον ἔτι καὶ πρῶτον ἔτος ἄγοντα πρὸς τοῖς εἴκοσι, πολλάκις ἀριστεύσαντα τεθεαμένος, ἐπέστησε τῷ κατὰ Σικελίαν στρατῷ, καὶ πάσης ἐκράτησε τῆς νήσου μετὰ τὴν Κάρβωνος σφαγήν. Δεύτερος οὖν ἐπεκαλεῖτο Σύλλας.

9. Ἀπὸ δὲ τῆς Σικελίας ἐπὶ τὴν Ἀφρικὴν διαπλεύσας συμπλέκεται Δομιτίῳ· Μαρίου καὶ οὗτος ἦν στρατηγός· καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν Ἰέρβαν, Μαύρων βασιλεύοντα, συμμαχοῦντα τῷ Δομιτίῳ. Ὡς οὖν

1 (καὶ 4) *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΔΜΣ   3. *μὲν διέφθειρεν* ἔγραψα : *διέφθειρε μὲν* Ι : *μὲν ἔφθειρεν* Π   9. *ἐπακολουθῆσαί τινας* Δ : *ἐπακολουθῆσαι τινὰς* Π   11. *τοὺς προτέρους* Π : *τοὺς τέρους* τοῦ ἄνωθεν *προ* προστεθέντος τῇ δευτέρᾳ χειρὶ Α   11-13. *ὑπάτους-ἑτέρους* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα ἐν τῇ ᾤᾳ Α   13. *δὲ* Π : λείπει Ι   15. *Κυλλήνη* Π : *Κολλίνη* διώρθωσα Δ
17 (καὶ 18). *δὲ* Π : *δὲ'* Α   20-21. *Σικελίαν* Π : *Σικελλίαν* Α   21. *κἀκεῖ* Ι : *κακεῖ* ΑΜΣ : *κάκεῖ* Δ   τοῦ ΑΜΙ : λείπει ΣΔ   27. *Δομιτίῳ* ἔγραψα ἐνταῦθα τε καὶ κατωτέρω (Ἴδε κατωτέρω τὴν γραφὴν τοῦ Ι ἐν σ. 58, 19) : *Δομητίῳ* Π
*Μαρίου* Π : *Μαρίῳ* Δ   *αὐτόν τε* Δ : *αὐτόν τὲ* Π   28. *Ἰέρβαν* ΑΜΣ : *ἱέρβαν* ΙΔ. Γραπτέον *Ἰάρβαν*

καὶ τῶν ἐμφυλίων κεκρατηκὼς ὁ Σύλλας τὸν κατὰ Μιθριδάτου θρίαμβον ἀπεπλήρωσε, καὶ Πομπήιος δὲ πρῶτος τοῦτο λαχὼν ἐν νεότητι τὸ γέρας, εἰκοστῷ καὶ τετάρτῳ τῆς ἡλικίας ἔτει κατὰ τῶν Ἄφρων ἐθριάμβευσεν. Οὕτως ἐτελεύτησαν ὅ τε ἰταλικὸς πόλεμος καὶ ὁ ἐμφύλιος πόλεμος, ἐπὶ δεκάτῳ ἐκταθέντες ἐνιαυτῷ, ὀλεθριώτατοι γενόμενοι τῇ Ῥώμῃ. Κατ' αὐτοὺς γὰρ ἀπέβαλον ἑκατὸν καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν ὁπλιτῶν, εἴκοσι δὲ καὶ τέσσαρας ὑπατικοὺς ἄνδρας, ἑπτά τε πραιτωρίους, αἰδιλικίους ἑξήκοντα, συγκλητικοὺς δὲ ἀμφὶ τοὺς διακοσίους. Ἡ δὲ τῶν αἰδιλικίων ἀρχή τις ἦν, ἧς πρώτης οἱ παριόντες ἐπὶ τὰ πράγματα τῆς πόλεως ἐτύγχανον.

## ΒΙΒΛΙΟΝ Ϛ'.

1. Μάρκου Αἰμιλίου Λεπίδου καὶ Κύντου Κατούλου γενομένων ὑπάτων καὶ τῆς πολιτείας ὑπὸ τοῦ Σύλλου πεφυλαγμένης, καινοὶ πόλεμοι πανταχόθεν ἐξανέστησαν, ἐν μὲν ταῖς Ἱσπανίαις Σερτωρίου νεωτερίσαντος, ὃς τῆς Μαρίου συμμορίας ἦν, καὶ τοὺς Ἱσπανοὺς εἰς ὅπλα κινήσαντος, δείσαντος μὴ ταὐτὰ πάθῃ τοῖς λοιποῖς τοῖς Μαρίῳ κεκοινωνηκόσιν, ἐν Παμφυλίαις δὲ καὶ Μακεδονίᾳ καὶ Δαλματίᾳ τῶν ἐνοίκων τῆς γῆς κατὰ τοῦ δήμου στασιασάντων. Πέμπονται τοίνυν ἐπὶ μὲν τὸν Σερτώριον Κύντος Καικίλιος Μέτελλος, ὁ Μετέλλου παῖς τοῦ Ἰουγούρθαν νικήσαντος, καὶ Λούκιος Δομίτιος. Ἀλλ' ὁ μὲν Δομίτιος συμμίξας ἀνῃρέθη, Μέτελλος δὲ ἀμφήριστον ἔσχε τὴν μάχην. Ἐπεὶ δὲ οὐκ ἐδόκει μόνος ἀρκεῖν, πέμπεται Πομπήιος· καὶ διαφόρους ἔσχεν ἡ μάχη τύχας, νῦν μὲν κρατοῦντος, νῦν δὲ ἡττωμένου Σερτωρίου.

1. *Μιθριδάτου* ΙΔ : *Μιθριδάτην* ΜΣ : *μιθριδά* Α 4. *ἰταλικὸς* Π : *ἰταλικὸς* ἐκ τοῦ *ἐταλικὸς* Μ 6. *τῇ Ῥώμῃ* ΙΔ : *τῆς Ῥώμης* ΑΜΣ 7. *ὁπλιτῶν* Π : *ὁπλῖτων* ἐκ τοῦ *ὁπλητῶν* Μ 8. *αἰδιλικίους* Π : *καὶ αἰδιλικίους* Δ 8-9. *ἀμφὶ τοὺς* Π : *ἀμφίτοὺς* Μ 10. *παριόντες* ΜΙΔ : *παρόντες* ΑΣ 11. *Αἰμιλίου* Π : *αἰμιλίου* Μ 12. *καινοὶ* ΣΔ : *κενοὶ* ΑΜΙ 13. *Ἱσπανίαις* Δ : *ἰσπανίαις* ΑΜΙ : *Ισπανίαις* Σ 14. *Ἱσπανοὺς* Δ : *ἰσπανοὺς* ΑΜΙ : *Ισπανοὺς* Σ 15. *δείσαντος* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *δείσαντος* πρόσθετον τῇ δευτέρᾳ χειρὶ διὰ ʌ παραπεμπτικοῦ σημείου Μ *ταὐτὰ* Π : *ταυτὰ* Α 16. *Παμφυλίαις* Π : *Παμφυλίᾳ* ὀρθῶς Δ 18. *Καικίλιος* ΣΔ : *καὶ κίλιος* ΑΜΙ 19. *Δομίτιος* Ι : *Δομήτιος* ΜΣΔ : *δομήτιος* ἐκ τοῦ *δομῖτιος* Α *Δομίτιος* ἔγραψα : *Δομήτιος* Π
20. *ἀνῃρέθη* Π : *ἀνηραίθη* Μ

Διελθόντων δὲ ἐνιαυτῶν ὀκτωκαίδεκα Σερτώριος ὑπὸ τῶν οἰκείων ἀνῃρέθη, καὶ Ἱσπανοὶ ἐντεῦθεν ἠρεμοῦντες διέμειναν.

2. Τὸν ἐν Μακεδονίᾳ δὲ πόλεμον Ἄππιος Κλαύδιος κατώρθωσε, πολλοῖς ἔθνεσι μαχεσάμενος τοῖς τὴν Ῥοδόπην οἰκοῦσι. Νικήσαντα δὲ αὐτὸν ἀπήγαγε τοῦ βίου νόσος. Ὑποκαταστὰς δὲ αὐτῷ Γάϊος Σκριβώνιος Κουρίων Δαρδάνους τε ἐνίκησε καὶ πρὸς τὰς ὄχθας ἐχώρησε τοῦ ποταμοῦ τοῦ Ἴστρου· οὕτω τε ἐπανελθὼν ἐθριάμβευσεν.

3. Εἰς δὲ τὴν Παμφυλίαν Πούβλιος Σερβίλιος ἀφικόμενος Κιλικίαν τε ὑπηγάγετο καὶ Λυκίας τὸ πλεῖστον. Φασήλιδα γὰρ καὶ Ὄλυμπον καὶ Κώρυκον προσένειμε Ῥωμαίοις· Ἰσαύροις τε ἐπελθὼν ἠνάγκασε τὴν Ῥωμαίων δέξασθαι δεσποτείαν. Πρῶτός τε Ῥωμαίων τὸν Ταῦρον διῆλθε, καί, ὁδεύσας τὴν ὑπώρειαν, ἐπεκλήθη διὰ τὴν νίκην Ἰσαυρικός, ὡς δυσμαχώτατον ἔθνος νενικηκώς.

4. Τὰ δὲ ἐν Ἰλλυριοῖς Γάϊος Κοσκώνιος, ἀνθυπατικὴν ἐξουσίαν ἔχων, κατεστήσατο, Σάλωνας μέν, μητρόπολιν τῆς Δαλματίας, κτησάμενος, τῷ πολέμῳ δὲ ἐπιθεὶς ἔτει δευτέρῳ τέλος.

5. Ἐν αὐτῷ δὲ τούτῳ τῷ χρόνῳ Μάρκος Αἰμίλιος Λέπιδος, ὁ τοῦ Κατούλου συνύπατος, τὴν ἐμφύλιον ἐπεχείρησεν ἀνακινῆσαι στάσιν, ἀλλὰ τοῦ προσιόντος θέρους καθῃρέθη, καὶ τὰ γενόμενα παρὰ τοῖς Ἰλλυριοῖς καὶ κατὰ τὴν πόλιν τάχους τε ἕνεκα καὶ τῶν ἔργων αὐτῶν ἠξιώθη θριάμβων.

6. Καὶ Ῥώμῃ δὲ ἕκτον καὶ ἑβδομηκοστὸν ἐπὶ τοῖς ἑξακοσίοις ἔτος ἦν. Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἐκτὸς μὲν Λεύκιος Λούκουλλος καὶ Μάρκος Αὐρήλιος Κόττας ἦσαν ὕπατοι, Νικομήδης δὲ ὁ βασιλεὺς τελευτῶν παρέπεμψε τὴν βασιλείαν Ῥωμαίοις. Μιθριδάτης δέ, μικρὰ τῶν σπονδῶν φροντίσας, κατὰ τῆς Βιθυνίας καὶ Ἀσίας ἔφοδον ἐμελέτησεν. Ἀμφοτέρων δὲ τῶν ὑπάτων ἐπ' αὐτὸν ὁρμηθέντων, νῦν

1. *ὀκτωκαίδεκα* ΑΙΣ : *ὀκτὼ καὶ δέκα* Μ : *ὀκτὼ* διώρθωσε Δ 2. *Ἱσπανοὶ* ΣΔ : *ἱσπανοὶ* ΑΙ : *ἱσπανοὶ* ἐκ τοῦ *ἱσπανὸς* Μ *ἠρεμοῦντες* ΑΜΣ : *ἠρεμοῦντες* ΙΔ 4. *οἰκοῦσι* ΙΔ : *οἰκοῦσιν* ΑΜΣ 6. *Δαρδάνους* ΑΔ : *Καρδάνους* ΙΜΣ 9. *Φασήλιδα* ΙΔ : *φασίλιδα* ΑΜ : *Φασίλιδα* Σ 10-11. *ἠνάγκασε* Π : *ἠνάγκασε* τοῦ *γ* διορθωθέντος ἐκ *ν* Μ 11. *πρῶτός τε* Δ : *πρῶτος τὲ* Π 16. *ἐπιθεὶς* Π : *ἐπιθεὶς* ἐκ τοῦ *ἐπίθεις* Μ 17. *Αἰμίλιος* ΙΣΔ : *αἰμίλιος* ΑΜ 18. *Κατούλου* ΙΔ : *Κατούλλου* ΑΜΣ 19. *γενόμενα* Ι : *γινόμενα* Π τοῖς Π : τοῖς ἐκ τοῦ τῆς Μ 20. *Ἰλλυριοῖς* Π : *ἰλλυριοῖς* ἐκ τοῦ *ἰλλυρῖοις* Μ 22. *ἕκτον* Π : *ἕκτον* Μ *ἑβδομηκοστὸν* Π : *ἑβδομηκοστὸν* ἐκ τοῦ *ἑβδομῖκοστὸν* Μ *ἑξακοσίοις* Π : *ἑξακοσίοις* Α

μὲν ἐκράτει, νῦν δὲ ἧττον εἶχε Ῥωμαίων. Καὶ Κόττας μὲν πρὸ Χαλκηδόνος τῆς ἐπὶ τῷ Βοσπόρῳ συμμίξας ἡττᾶται, καὶ καταφεύγει πρὸς τὸ ἄστυ. Μιθριδάτης δὲ, τὴν πολιορκίαν τρίβειν αὐτῷ τοὺς χρόνους οἰηθεὶς, ἔδραμεν ἐπὶ τὴν Κύζικον, ὡς ὁρμητηρίῳ χρησόμενος αὐτῇ κατὰ πάσης τῆς Ἀσίας. Οὐ μὴν οἷον ἤλπισεν ἔσχε τέλος. Λούκουλλος γὰρ αὐτῷ προκαθεσθεὶς καὶ πολιορκοῦντα πολιορκήσας, λιμῷ τε πιέσας αὐτόν τε καὶ τὸ στρατόπεδον, συνελαύνει τὸν Μιθριδάτην εἰς τὸ Βυζάντιον, οὗ νῦν ἐστιν ἡ Κωνσταντινούπολις. Καὶ μετὰ ταῦτα, τοῖς στρατηγοῖς αὐτοῦ μαχεσάμενος, τὸ πολὺ διέφθειρε τοῦ στρατοῦ, ὡς ἑκατὸν ἀνδρῶν χιλιάδας πεσεῖν ὑφ' ἑνὶ χειμῶνι καὶ θέρει.

7. Τῷ δὲ ἑξακοσιοστῷ καὶ ἑβδομηκοστῷ καὶ ὀγδόῳ τῆς πόλεως ἔτει, τὰ μακεδονικὰ μὲν ἐπετράπη Λικινίῳ Λουκούλλῳ· ἀνεψιὸς δὲ ἦν Λουκούλλου τοῦ πρὸς Μιθριδάτην πολεμοῦντος· ἐκινήθη δὲ κατὰ τὴν Ἰταλίαν πόλεμος καινός. Τέσσαρες γὰρ καὶ ἑβδομήκοντα τῶν ἐπὶ μονομαχίᾳ συνειλεγμένων ἡγεμόνας τοῦ τολμήματος ποιησάμενοι, Σπάρτακον καὶ Κρίξον καὶ Οἰνόμαον, ὀρύξαντες τὸ μονομαχικὸν θέατρον, ἀπέφυγον· καὶ πλανώμενοι κατὰ μικρόν τε ηὐξήθησαν, ὥςτε εἰς ἑξήκοντα χιλιάδας προελθεῖν, πολλούς τε Ῥωμαίων στρατηγοὺς καὶ δύο τῶν ὑπάτων ἀνελόντες οὐχ ἧττω καὶ φόβον καὶ κίνδυνον ἐπήγαγον Ῥωμαίοις ἤπερ Ἀννίβας, καὶ μόλις ὑπὸ Λικινίου Κράσσου, χειροτονηθέντος ὑπάτου, πολλαῖς περιβαλόντες τὴν Ῥώμην συμφοραῖς, ἔτει τρίτῳ τῆς ἀρχῆς τοῦ πολέμου, παντελῶς ἀπεσβέσθησαν.

8. Ἑξακοσιοστῷ δὲ καὶ ὀγδοηκοστῷ καὶ πρώτῳ τῆς πόλεως ἔτει,

1-2. *Χαλκηδόνος* Δ : *χαρχηδόνος* Μ : *Καρχηδόνος* ΙΑΣ 4. *χρησόμενος* ΙΔ : *χρησάμενος* ΑΜΣ 6. *πολιορκοῦντα πολιορκήσας* Π : ἡ πρώτη χεὶρ εἶχε γράψει *πολιορκήσας* ἡ δὲ δευτέρα παρενέβαλεν ἐν τέλει τοῦ στίχου καὶ ἐν τῇ ἀρχῇ τοῦ ἑπομένου, ὅπου ταῦτα γεγραμμένα, μετὰ τὸ *πολιορ* καὶ τὸ *κήσας*, τὰ *κοῦντα πολιορ* ὥςτε νῦν ἀναγινώσκομεν *πολιορκοῦντα πολιορκήσας* 7. *αὐτόν τε* ΙΔ : *αὐτόν τέ* ΑΜΣ 8. *ἐστιν* ΣΔ : *ἐστὶν* ΑΜΙ 11. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Α

12. *Λικινίῳ* ἔγραψα κατὰ τὴν γραφὴν τοῦ Λ κατωτέρω ἐν στ. 20 : *Λικιννίῳ* Π 13. *πολεμοῦντος* ΙΔΣ : *πολεμοῦν* Λ : *πολεμοῦντα* Μ 14. *καινός* Π : *καινός* ἐκ τοῦ *κενός* Π 16. *Κρίξον* Π. Γραπτέον *Κρίξον* 17. *μικρόν τε* Δ : *μικρόν τέ* Π 18. *ἑξήκοντα* Π : *ἐξήκοντα* Α 19. *ἧττω* ΑΣ : *ἧττω* ἐκ τοῦ *ἧττω* Μ : *ἧττον* ΙΔ 20. *Λικινίου* Δ : *Λικιννίου* Π 21. *χειροτονηθέντος* Π : *χειροτονηθέντες* διωρθώθη ὑπὸ τοῦ ἐρυθρογράφου εἰς *χειροτονηθέντος* Α : *χειροτονηθέντες* Ι *περιβαλόντες* ΙΣΔ : *περιβαλλόντες* διωρθώθη ὑπὸ τοῦ ἐρυθρογράφου εἰς *περιβαλόντες* Α : *περιβαλόνταις* Μ 23. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Μ *ὀγδοηκοστῷ* Π : *ὀγδοηκοστῷ* Μ

ΙΩΑΝΝΙΝΑ 2006

δὲ Κορνηλίου Λεντούλου καὶ Γνέου Φιλίου Ὀρέστου τὴν ἀρχὴν δεξαμένων, οἱ δύο πόλεμοι τὴν Ῥωμαίων ἐνώχλουν μόνοι, ὅ τε πρὸς Μιθριδάτην καὶ ὁ πρὸς Μακεδόνας· οἷς ἐπεστάτουν Λούκιός τε Λούκουλλος καὶ Μάρκος Λούκουλλος. Ἀλλ᾽ ὁ μὲν Λούκιος μετὰ τὴν ἐν Κυζίκῳ μάχην, ἣν ἄρτι διηγησάμην, νικᾷ τε τοὺς ἡγεμόνας τοῦ Μιθριδάτου ναυμαχίᾳ, καί, κατακολουθῶν ὄπισθεν, Παφλαγονίαν τε καὶ Βιθυνίαν ἀνεκτήσατο καὶ πρὸς τὸν Πόντον, ὃς ἦν τῆς Μιθριδάτου βασιλείας, τὸν δρόμον ἴθυνε, καὶ τὰς ἐπισήμους τοῦ Πόντου πόλεις, Σινώπην τε καὶ Ἀμισσόν, εἷλεν. Εἶτ᾽ ἐπισυνάψας τὴν μάχην περὶ Τάβεραν τὴν πόλιν, μετὰ πολλοῦ πλήθους ἐκ πάσης αὐτοῦ τῆς βασιλείας ἀντιπαραταξαμένου τοῦ Μιθριδάτου, οὗτος, πεντακισχιλίοις μόνοις ὁπλίταις χρώμενος, τριάκοντα διεχρήσατο χιλιάδας, καί, τρέψας τὸν Μιθριδάτην εἰς φυγήν, τῶν τε παρεμβολῶν ἐγένετο κύριος ἀφείλετό τε καὶ τῆς Μικρᾶς Ἀρμενίας αὐτόν. Τὸν μὲν οὖν φυγόντα Τιγράνης ὁ τῆς Ἀρμενίας ὑπεδέξατο βασιλεύς, ἐπισημότατος τῶν πώποτε τὴν χώραν κατασχόντων καὶ Πέρσας ἀεὶ νενικηκὼς καὶ τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν καὶ τὰ πλεῖστα τῆς Φοινίκης ὑφ᾽ ἑαυτὸν ἔχων.

9. Λούκουλλος δ᾽ ἐπεξελθὼν καὶ τῆς Τιγράνου βασιλείας κατεφρόνησε καὶ τὴν μεγίστην αἱρεῖ πόλιν Ἀρμοζιανήν, εἶτα καὶ αὐτὸν τὸν Τιγράνην ἐπιόντα μετὰ μὲν ὁπλιτῶν ἑπτακισμυρίων καὶ πεντα-

1. *Γνέου* Π. Γραπτέον *Γναίου*  *Φιλίου* Π : *Αὐφιδίου* διώρθωσε Δ
2. *ἐνώχλουν* Π. Γραπτέον *ἠνώχλουν*:  3. *Λούκιός τε* Δ : *Λούκιος τὲ* Π *Λούκουλλος* Π : *λούκου(λ)λος* Μ  Ἐν τῇ ᾠᾳ· *τοῦτον τὸν λούκουλλον (λουκολλον* Α*) ὁ πλούταρχος παράλληλον τίθησι κίμωνι τῷ ἀθηναίῳ* ΑΜΣ  5. *τοὺς* Π : *τοῦς* Ι  *τοῦ* Π : *ποῦ* ἐκ τοῦ *τοῦ* Α  7. *τῆς* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *τῆς* ἐν βραχυγραφίᾳ πρόσθετον ἐρυθρὸν ἄνωθεν Α  8. *ἐπισήμους* Π : *ἐπισήμους* ἐκ τοῦ *ἐπισήμου* τοῦ ς προστεθέντος ὑπὸ τῆς δευτέρας χειρὸς Α  9. *Ἀμισσὸν* Π. Γραπτέον *Ἀμισὸν*  9-10. *Τάβεραν* Π : *Κάβειρα* διώρθωσε Δ  12. *διεχρήσατο* Π : *διεχρήσατο* τῶν γραμμάτων *δι* προστεθέντων ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Α  14. *ἀφείλετό τε* Δ : *ἀφείλετο τὲ* Π  14 (καὶ 15). *Ἀρμενίας* ΙΔ : *ἀρμενίας* ΑΜ : *Αρμενίας* Σ  20. *αἱρεῖ* ΑΜΙ : *ἔρει* Σ : *αἱρεῖ* διώρθωσε Δ  *πόλιν* Π : *πόλιν :/* ἐκ τοῦ *μάχης* τῇ πρώτῃ χειρί, ἐν δὲ τῇ ᾠᾳ *:/ καὶ τιτη (;) πόλιν (;) λειψθα (;)* Α  Τὰ μετὰ τὸ *πόλιν* μέχρι τῶν λέξεων *λαμπρῶς κρατήσας* (Ἴδε κατωτέρω σ. 62, 20) περιλαμβάνει μόνος ὁ Ι ἐν φ. 445-456, λείπουσι δ᾽ ἐν ΑΜΣ, ἑπομένων ἐν συνεχείᾳ τῶν κατωτέρω ἐν σ. 62,25 *ὅθεν δὴ καὶ Κρητικὸς* κ. ἑ. Ἐν δὲ τῷ Μ εὑρηται μετὰ τὸ *πόλιν* κενὸν ὡσεὶ ὀκτὼ γραμμάτων, ἐν ᾧ ἡ δευτέρα χεὶρ ἔγραψε *πόλιν* * ἐν δὲ τῇ ᾠᾳ * *λείπει φύλλον α*  *ἀρμοζιανὴν* Ι. Γραπτέον *Ἀρζανηνὴν*

Ε. ΓΚΑΤΖΗΣ Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κοσίων, τρισὶ δὲ πλειόνων μυριάσι τοξοτῶν, αὐτὸς σὺν ὀκτακισχιλίους καὶ μυρίοις οὕτως ἐνίκησεν, ὡς ἅπασαν σχεδὸν διαφθαρῆναι τὴν Ἀρμενίων δύναμιν. Διαβὰς δὲ ἐπὶ τὴν Νίσιβιν, αἱρεῖ τὴν πόλιν σὺν τῷ τοῦ βασιλέως ἀδελφῷ. Τῶν δὲ ὑπὸ Λουκούλλου καταλελειμμένων ἐπὶ φυλακῇ τῶν κτηθέντων ῥαθυμούντων ἅμα καὶ τῇ περὶ τὰ χρήματα σπουδῇ τὸ πλέον νεμόντων, αἰτία γίνεται τῷ Μιθριδάτῃ πάλιν ἐπιχειρῆσαι τῷ Πόντῳ. Καὶ παρασκευῆς ἐπεμελεῖτο εἰς πόλεμον. Οὐ μὴν ἀξιόχρεων τοῦτο ἐφάνη Λουκούλλῳ, τὴν κατὰ τῶν Περσῶν ἐπιστράτευσιν ἀνακόψαι· κἂν ἔπραξέ τι κατ' αὐτῶν γενναῖον, εἰ μὴ τῆς ἀρχῆς αὐτὸν ἔπαυσαν Ῥωμαῖοι.

10. Ὁ δὲ ἕτερος Λούκουλλος, ᾧ τὰ περὶ Μακεδονίαν ἐπετέτραπτο, πρῶτος ἐπήγαγε Βέσσοις πόλεμον, ἔθνει Θρᾳκῶν μαχιμωτάτῳ, καὶ κρατήσας αὐτῶν ἐν ταῖς ὑπωρείαις τοῦ Αἵμου ἀφείλετο καὶ τῆς πόλεως αὐτοὺς τῆς Οὐσκουδάμης· εἷλε δὲ καὶ τὴν Καβύλην, καὶ πρὸς αὐτὸν χωρήσας τὸν Ἴστρον, πολλὰς τῶν τοῦ Πόντου πόλεων ἐπολιόρκησεν, Ἀπολλωνίαν καὶ Κάλλαβον καὶ Παρθενόπολιν, Τόμους τε ἐπὶ ταύταις καὶ Ἱερὸν καὶ Βουρζάονα. Κατορθώσας τε οὕτω τὸν πόλεμον οἴκαδε ἐπανῆκεν. Καὶ θριαμβεύουσιν ἑκάτεροι Λούκουλλοι, ἐπιφανέστερον δὲ ὁ Μιθριδάτην νενικηκὼς ὡς ἐπὶ πολλαῖς ἅμα βασιλείαις ἃς καθηρήκει τὸν θρίαμβον ἄγων.

11. Ἀλλὰ τὰ μὲν Μακεδόνων οὐκέτ' ἐκινεῖτο· Μιθριδάτης δὲ ἐν τοῖς αὐτοῖς ἦν ἔτι. Τὴν γὰρ ἀναχώρησιν Λουκούλλου καιρὸν αὑτοῦ ποιησάμενος συνέλεγε στρατείαν. Παρασκευαζομένου δὲ ἐκείνου, Κρῆτες ἐπανέστησαν. Ἐφ' οὓς ἐξεπέμφθη Κύντος Καικίλιος Μέτελλος, καὶ τρισὶν ἔτεσι ταύτην κατέλυσε τὴν κίνησιν, λαμπρῶς κρατήσας· ὅθεν δὴ καὶ Κρητικὸς ὁ Μέτελλος προσηγορεύθη, καὶ τὴν νίκην ἐθριάμ-

3. *αἴρει* I. Γραπτέον *αἱρεῖ*  4. *Λουκούλλου* ἔγραψα : *λουκούλου* I
16. *κάλλαβον* I. Γραπτέον *Κάλατιν*  17. *ἱερὸν* I. Γραπτέον *Ἴστρον*
*Βουρζάονα* I. Γραπτέον *Βουζιάονα*  τε ἔγραψα : γὲ I  20. *καθηρήκει* I. Ἐν τῇ ἐμῇ ἐκδόσει τοῦ ἀποσπάσματος τούτου ἐν τῇ Classical Review Τόμ. ΙΑ' σ. 288, 30 ἐκ τυπογραφικοῦ παροράματος *καθηρήκει*  21. *Μιθριδάτης* ἔγραψα ἀντὶ τοῦ ἐν τῷ I *μιθραδάτης* (Ἴδε Classical Review ἔνθ' ἀν. σ. 288, 32) ἐπειδὴ τὸν τύπον τοῦτον φέρουσι κατ' ἐπικράτησιν οἱ κώδικες τοῦ Παιανίου. Μόνον ἐν τῷ Λ ἐξάκις γέγραπται *μιθραδάτην*. Ἴδε κατωτέρω σ. 63 κ. ε.  22. *αὑτοῦ* ἔγραψα : *αὐτοῦ* I  23. *στρατείαν* I. Ἴδε καὶ ἀνωτέρω σ. 55, 3 Γραπτέον *στρατιάν*
24. *Καικίλιος* ἔγραψα : *καὶ κίλλιος* I  25. Τὰ ἀπὸ τῆς λέξεως ὅθεν καὶ ἑξῆς εὕρηνται ἐν ἅπασι τοῖς κώδιξι  26. *ὁ Μέτελλος* H : λείπει I

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.Α.ΠΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δευσε. Τότε καὶ Λιβύων ὁ βασιλεὺς Ἀππίων Ῥωμαίοις παρέπεμψε τὴν ἀρχὴν ἀποθνήσκων ἐκ διαθήκης, κύριοι δὲ Λιβύων ἐγένοντο Ῥωμαῖοι, καὶ μεγίστας προσελάβοντο πόλεις, Βερενίκην, Πτολεμαΐδα καὶ Κυρήνην.

12. Οὕτω τῶν πραγμάτων κατὰ γῆν ἐχόντων, ἐκ θαλάττης ἐκινήθη πόλεμος, λῃστῶν αὐτὴν πανταχόθεν ἐπιπλεόντων, ὡς μήτε τοῖς ἐμπόροις μήτ' ἄλλοις αὐτὴν εἶναι πλοεῖν. Τοῦτον ὁ Πομπήιος, ψηφίσματι τῆς πόλεως ἐπιτραπέντα, ἐν μικρῷ χρόνῳ καὶ μετὰ λαμπρᾶς ἔπαυσε τῆς τύχης. Καὶ μετέστη πρὸς Μιθριδάτην τε καὶ Τιγράνην. Καὶ τὸν μὲν Μιθριδάτην ἐν Ἀρμενίᾳ τῇ δευτέρᾳ, νυκτομαχίᾳ νικήσας, τάς τε παρεμβολὰς εἷλε καὶ τεσσαράκοντα χιλιάδας διέφθειρε τοῦ τῶν πολεμίων στρατοῦ, εἴκοσι τῶν ἑαυτοῦ μαχητῶν ἀποβαλὼν καὶ ἑκατοντάρχους δύο. Αὐτόν τε Μιθριδάτην μετὰ τῆς γαμετῆς συνελάσας εἰς φυγήν, ἐπὶ τὸν Τιγράνην ἐχώρησεν. Ἀλλ' ὁ μὲν Μιθριδάτης ὑπὸ τῆς συμφορᾶς χαλεπῶς τοῖς οἰκείοις κεχρημένος, ἐπαναστάντος αὐτῷ τοῦ παιδὸς Φαρνάκου καί τινων ἐκ τοῦ στρατοῦ, φαρμάκῳ τὴν τελευτὴν ηὕρατο, καὶ τοῦτο ἔσχε πέρας τοῦ βίου περὶ τὸν Βόσπορον, ἀνὴρ ἔργῳ τε καὶ βουλαῖς ἄριστος καὶ τήν τε βασιλείαν ἑξήκοντα κατασχὼν ἔτεσι, τῆς δὲ ἡλικίας προβάσης ἑβδομήκοντα καὶ δύο. Ὁ δὲ Ῥωμαίων πρὸς αὐτὸν πόλεμος τεσσαράκοντα ἔτη ἐγένετο.

13. Τιγράνης δὲ παρέδωκεν ἑαυτὸν Πομπηίῳ ἐν Ἀρταξάτῳ, φρουρίῳ δεκάτῳ καὶ ἕκτῳ σημείῳ, τοῦ στρατοπέδου ἀπέχοντος τοῦ Πομπηίου τοῦ Ἀρταξάτου φρουρίου δέκα καὶ ἓξ σταδίους. Τὸ δὲ Ἀρτάξατον φρούριον ἦν τοῦ Τιγράνου. Καὶ τὸ διάδημα τὸ βασιλικὸν αὐτῷ προσεκόμισε, καὶ προσέπεσε πρὸς τὰ γόνατα. Ἀλλ' ἐκ μεγαλοφροσύνης ὁ Πομπήιος τόν τε στέφανον ἐπέθηκεν αὐτοῦ τῇ κεφαλῇ, καὶ πάσης τε μετέδωκε τιμῆς, μέρος τῆς βασιλείας ἀφελόμενος καὶ χρήμασι σωφρονίσας. Συρίαν μὲν γὰρ καὶ Φοινίκην καὶ Σωφάνην περιέ-

1. *Ἀππίων* Π : *Ἀπίων* διώρθωσε Δ 2. *ἀποθνήσκων* Δ : *ἀποθνήσκων ὢν* Π *δὲ* Π : *δὴ* Δ *Λιβύων* Π : *Λιβύης* διώρθωσε Δ 7. *ἄλλοις* Π : *ἄλλοις ἐκ τοῦ ἄλλης* Μ 8. *μετὰ λαμπρᾶς* Π : *μεταλαμπρᾶς* Μ 9 (καὶ 10). *Μιθριδάτην* Π : *μιθραδάτην* Λ 10. *μιθριδάτην μὲν* Ι : *μὲν Μιθριδάτην (μιθραδάτην* Λ) Π 11. *εἷλε* Π : *εἷλεν* Μ 14. *Μιθριδάτης* Π : *μιθραδάτης* Λ 16. *Φαρνάκου* Π : *φαρνάξ* Λ *καί τινων* Π : *καὶ τινῶν* Δ 17. *ηὕρατο* ΙΣΔ : *ηὔρατο* ΑΜ *ἔσχε* Π : *ἔσχεν* Ι 18. *ἑξήκοντα* Π : *ἐξήκοντα* Λ 21. *ἐν Ἀρταξάτῳ* ἔγραψα : *ἐν ἀρταξάτου* Π : *τῶν Ἀρταξάτου* Δ 21-22. *φρουρίῳ* ΑΙ : *φρουρίου* Μ 23-24. *τοῦ Ἀρταξάτου - Τιγράνου* ΑΜΙ : λείπουσι ΣΔ 26. *τε* ἔγραψα : *τε* Π : *ἔτι* Δ 28. *Σωφάνην* ΑΜ : *σωφάνην ἦν* Ι : *Σωφανήνην* ΣΔ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΓ. Δ. ΤΗΣ Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κοψεν αὐτοῦ τῆς ἀρχῆς, ἑξακισχίλια δὲ τάλαντα ἀργυρίου καταβαλεῖν ἠνάγκασε, τιμωρίαν τοῦ κατὰ Ῥωμαίων ἐγχειρήματος.

14. Ἐκεῖθεν ὁ Πομπήιος ἔδραμεν ἐπὶ τοὺς Ἀλβανούς· καὶ τὸν βασιλεύοντα τοῦ ἔθνους Ὀρόδην μάχῃ νικήσας, ἔπειτα γράμμασιν ἱκετηρίοις ἐπικλασθεὶς καὶ τάξας φόρους, ἐσπείσατο πρὸς αὐτόν, καί, μεταστὰς ἐπὶ τὸν Ἰβήρων βασιλέα τὸν Ἀρτάκην, ἐκράτησε τοῖς ὅπλοις καὶ αὐτοῦ κατέστη κύριος, ἐκδοὺς ἑαυτὸν τῷ νενικηκότι. Τότε τὴν δευτέραν Ἀρμενίαν Δηιοτέρῳ, τῷ βασιλεῖ τῆς Γαλατίας, ἔδωκε δῶρον ὁ Πομπήιος, συμμάχῳ κατὰ τοῦ Μιθριδάτου γεγενημένῳ· καὶ Πυλαιμένει δὲ καὶ Ἀττάλῳ τὴν Παφλαγονίαν ἀπέδωκε τῆς αὐτῆς αἰτίας χάριν. Ἀρίσταρχον δὲ ἔταξε βασιλεύειν Κόλχων. Καὶ μετὰ ταῦτα προσπεσὼν Πετραίοις τε καὶ Ἀρραβίοις καὶ νικήσας μάχῃ, πρὸς τὴν Συρίαν ἐπανῆκε, καὶ παρέσχε τοῖς Σελεύκειαν τὴν Ἀντιοχείας γείτονα κατοικοῦσιν αὐτονομίαν, ὅτι δὴ τῷ καιρῷ τοῦ πολέμου τὸν Τιγράνην οὐχ ὑπεδέξαντο. Ἀπέδωκε δὲ καὶ Ἀντιοχεῦσι τοὺς ὁμήρους, καί τινα καὶ γῆν τοῖς ἐνοίκοις τῆς Δάφνης προσεκύρωσεν, ὡς ἂν ἀφθονωτέρῳ χρῷντο τῷ χωρίῳ, τῶν τε πηγῶν καὶ τοῦ ἄλσους αὐτὸ θαυμάσας. Ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰουδαίαν ὁρμηθείς, τρίτῳ τῆς ἐφόδου μηνὶ τὴν βασιλικὴν αὐτῶν πόλιν εἷλε τὰ Ἱεροσόλυμα, τῶν Ἰουδαίων αὐτῶν δώδεκα χιλιάδας ἐν τῇ πόλει διαφθείρας. Τοῦτο δὲ καὶ τοὺς λοιποὺς αὐτῷ προσχωρῆσαι παρεσκεύασε.

15. Κατὰ τοῦτον τὸν χρόνον Μάρκος Τούλλιος Κικέρων ὁ *ῥήτωρ* καὶ Γάϊος Ἀντώνιος, ὕπατοι χειροτονηθέντες, ἑξακοσιοστῷ καὶ ὀγδοηκοστῷ καὶ ἐνάτῳ τῆς πόλεως ἔτει τὸν ἐμφύλιον ἔσχον πόλεμον, ὃν Σέργιος Κατιλίνας, ἐξ ἐπιφανεστάτου κατιὼν γένους, ἐπήγειρε, φαυλότητι τρόπων χρώμενος καὶ δυσσεβῆ λαβὼν ἐπιθυμίαν τὸν τῆς πατρίδος ἀφανισμόν. Τούτῳ πρὸς ταύτην τὴν ἀθέμιτον πρᾶξιν συνωμόσαντό τινες, ὁμοίως μὲν ἐκείνῳ τὸ ἦθος διεφθαρμένοι, λαμπροὶ δὲ ἄλλως. Τὸν

3. *ἐκεῖθεν* Π : *ἐκεῖθεν δὲ* Δ   4. *μάχῃ* Δ : *μάχην* Π   7. *ἐκδοὺς* Π : *ἐκδόντος* διώρθωσε Δ κατὰ τὰ προταθέντα ὑπὸ Sylburg   8. *Δηιοτέρῳ* Π. Γραπτέον *Δηιοτάρῳ*   *δῶρον* Π : *δῶρον* ἐκ τοῦ *δώρον* Μ   9. *Πυλαιμένει* ΑΜΙ : *Πυλαιμένῃ* ΣΔ   12. *Πετραίοις* Π : *Ἰτουραίοις* διώρθωσε Δ   *Ἀρραβίοις* Π : *Ἀραβίοις* διώρθωσε Δ   16. *ἀφθονωτέρῳ* Π : *ἀφθονωτέρω* Α   18. *ἐπὶ* Π : *ἐπὴ* Μ   20. *τοῦτο* Π : *τοῦτον* Δ   23-24. *ὀγδοηκοστῷ* Π : *ὀγδοηκοστῶ* Μ   *ἐνάτω* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἐννάτῳ* Α : *ἐννάτῳ* Π   27-28. *συνωμόσαντό τινες* ΙΔ : *συνωμόσαντο τινὲς* Π   28. *ἐκείνῳ* Π : *ἐκείνω* διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ *ἐκεῖνο* Α   *διεφθαρμένοι* Π : *διεφθαρμένοι* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *διεφθαρμένον* Α

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Σ.ΔΙΤΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὲν οὖν Κατιλίναν ὁ Κικέρων ἐξέβαλε τῆς πόλεως, τοὺς δὲ κοινωνοὺς τοῦ τολμήματος δεσμωτηρίῳ κατακλείσας διέφθειρεν. Ἀντώνιος δὲ ὁ συνύπατος, ἐπεξελθὼν ἤδη στρατοπεδευομένῳ τῷ Κατιλίνα, μάχῃ τε ἐκράτησεν αὐτοῦ καὶ ἀνεῖλεν.

16. Ἑξακοσιοστῷ δὲ καὶ ἐνενηκοστῷ <καὶ ἐνάτῳ> τῆς πόλεως ἔτει τὴν μὲν ἀρχὴν εἶχον Ἰούλιος Σιλδανὸς καὶ Λούκιος Μουρήνας, θρίαμβοι δὲ ἐψηφίσθησαν Μετέλλῳ μὲν ὑπὲρ τοῦ Κρητικοῦ πολέμου, Πομπηΐῳ δὲ τῶν πειρατῶν τε ἕνεκα καὶ Μιθριδάτου. Ἐγένετο δὲ οὗτος ἐπιφανέστατος τῶν πώποτε θρίαμβος, πρὸ τοῦ ἅρματος ἀγομένων τῶν τοῦ Μιθριδάτου παίδων καὶ τοῦ Τιγράνου παιδὸς καὶ Ἀριστοβούλου τοῦ βασιλέως τῆς Ἰουδαίας, χρυσοῦ τε καὶ ἀργύρου ὅσον μέγιστον εἰπεῖν προπομπεύοντος· καὶ ἅπας τότε ἡσύχαζε πόλεμος.

17. Τρίτῳ δὲ πρὸς τοῖς εἰρημένοις Ἰούλιος Καῖσαρ ὁ μετὰ ταῦτα τὴν πολιτείαν μεταστήσας, μετὰ Λουκίου Βιδούλου παρελθὼν εἰς τὴν ὑπατείαν, Γάλλοις τε καὶ Ἰλλυριοὺς μετὰ δέκα ταγμάτων, ἅπερ αὐτοὶ καλοῦσι λεγεῶνας, καὶ νικᾷ τοὺς Ἑλδητίους, τότε πρῶτον ἡττηθέντας· Σηκουανοὶ δὲ οὗτοι νῦν προσαγορεύονται. Συνάπτων δὲ μάχαις μάχας καὶ νίκαις νίκας, ἄχρις αὐτοῦ προῆλθε τοῦ Ὠκεανοῦ καὶ τῶν νήσων τῶν Βρεττανῶν. Ἔτεσι δὲ ἐννέα Γάλλους ἅπαντας ὑπηκόους ἐποίησε Ῥωμαίοις, οἵτινες ὑπὸ τῶν Ἄλπεων καὶ τῶν ποταμῶν, τοῦ τε Ῥοδανοῦ καὶ τοῦ Ῥήνου, καὶ τῆς Ὠκεανίτιδος θαλάττης περικλείονται. Συμμίξας δὲ καὶ τοῖς Βρεττανοῖς, τότε πρῶτον ῥωμαϊκὴν ὁρῶσί τε καὶ ἀκούουσι στρατιάν, εἷλέ τε καὶ μεθ' ὁμηρίας ὑποσπόν-

1. *Κατιλίναν* Π : *κατιλίαν τοῦ ν προςτεθέντος ἄνω τῇ δευτέρᾳ χειρὶ* Μ
2. *Ἀντώνιος* Π : *ἀντωνῖνος* Α 3. *συνύπατος* Π : *συνΰπατος* Ι *Κατιλίνᾳ* Π : *κατιλίναι* Μ 5. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῶ* Μ *καὶ ἐνάτῳ* ΑΜΙ : *[καὶ ἐνάτῳ]* Σ : διέγραψε Δ 7. *δὲ* ΣΔ : *μὲν* ΑΜΙ 7-8. *Πομπηΐῳ* Π : *πομπηΐω ἐκ τοῦ πομπηΐον* Μ 8. *Μιθριδάτου* Π : *μιθραδάτου* Α 9. *πώποτε* Π : *πόποτε* Ι 13. Ἐν τῇ ὑφ' *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς αψ (πρώτης Σ) ὑπατείας ἰουλίου καίσαρος, ἔτη χλβ'* ΑΜΣ *Καῖσαρ* ΙΔ : *καίσαρ* ΑΜΣ *ὁ* Π : λείπει Ι
14. *Βιβούλου* ΣΔ : *βεβούλου* ΑΜΙ *παρελθὼν* Π. Γραπτέον *παρῆλθεν*
15. *μετὰ* Π : *ἐκ ψηφίσματος ἐπεπέμφθη μετὰ* κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ 16. *καλοῦσι* ΙΣ : *καλοῦσιν* ΑΜ *Ἑλβητίους* Δ : *Ἐλβητίους* Σ : *σελβητίους* Μ : *σελβετίους* ΑΙ 17. *Σηκουανοὶ* Π. Γραπτέον *Σηκουανοί* 19. *Βρεττανῶν* Π : *βρετανῶν* Μ 20. Ἐν τῇ ὑφ' *Cν* Α : λείπει Π 22. *Βρεττανοῖς* Π : *βρετανοῖς* Μ
23. *ὁρῶσί τε* Δ : *ὁρῶσι τὲ* Π *εἷλέ τε* Δ : *εἷλε τὲ* Π *ὁμηρίας* Π. Γραπτέον *ὁμηρείας*

δους ἐποίησεν. Ἐπέθηκε δὲ καὶ Γάλλοις φόρον. Καὶ μεταβὰς ἐπὶ τοὺς ὑπὲρ Ῥῆνον Γερμανούς, ἐκράτησε καὶ αὐτῶν. Ἐν τοσαύταις τε ἐθνῶν καὶ πολέμων νίκαις τρεῖς μόνον ἐσφάλη συμπλοκάς, μίαν μὲν παρὼν ἐν Ῥαβέρναις, δύο δὲ ἀπών, ὅτε καὶ τοὺς ληγάτους αὐτῷ συνέβη δι' ἐνέδρας ἀποθανεῖν.

18. Τέσσαρσι δὲ ὕστερον ἐνιαυτοῖς· τῆς πόλεως δὲ ἦν τοῦτο ἕβδομον καὶ ἑπτακοσιοστὸν ἔτος· Μάρκος Λικίννιος Κράσσος ὁ τῷ Πομπηΐῳ συνύπατος γεγενημένος, δεύτερον ἐπὶ τὴν ἀρχὴν κληθείς, ἐμαχέσατο πρὸς Πάρθους· καὶ περὶ Κάρραν τὴν πόλιν μετὰ φαυλοτέρων συμμίξας τῶν συμβόλων, παρὰ Σουρήνου· στρατηγὸς δὲ ἦν οὗτος Ὀρόδου τοῦ βασιλέως· ἡττᾶται, καὶ μικρὸν ὕστερον ἐπὶ τῆς παρατάξεως πίπτει μετὰ τοῦ παιδός, πάντα ἀρίστου καὶ μαχιμωτάτου. Τῆς δὲ στρατιᾶς τὸ λειπόμενον Γάϊος Κάσιος, ταμίας ὢν αὐτοῦ τῶν χρημάτων, διέσωσε. Τοσαύτη δὲ ἦν ἀρετὴ τοῦ Γαΐου, ὥστε, ἐν τεταραγμένοις ἤδη τοῖς πράγμασιν ἐπανιών, πολλαῖς τε ἐνίκησε τοὺς Πάρθους μάχαις ὑπὲρ τὸν Εὐφράτην ποταμόν, καὶ νενικηκότος ἔσχε δόξαν.

19. Ἐντεῦθεν ὁ ἐπάρατος καὶ πολλῶν ἄξιος ὀδυρμῶν, ὁ ἐμφύλιος συνέστη πόλεμος· ὃς πρὸς τῷ μεγέθει τῶν συμφορῶν, αἷς περιέβαλε Ῥωμαίους, καὶ τὴν πολιτείαν αὐτοῖς ἐνήλλαξεν. Ἔχει δὲ ὧδε. Καῖσαρ ἐπανιὼν ἀπὸ λαμπρῶν οὕτως ἔργων τῶν πρόσθεν εἰρημένων, ἐπήγγειλε δεύτερον αὐτῷ ψηφισθῆναι τὴν ἀρχήν, σφόδρα πεπεισμένος, ὡς οὐδεὶς ἐναντιώσεται. Μαρκέλλου δὲ τοῦ ὑπάτου καὶ Βιβούλου καὶ Πομπηΐου καὶ Κάτωνος ἀντειπόντων, προσετάχθη τὸ στράτευμα καταλιπὼν ἐπανήκειν. Ὡς οὖν ὑβρισμένος συνεπηγάγετο τὸν στρατόν, ὡς ἐποίσων τῇ πατρίδι πόλεμον. Οὗτος ὁ φόβος τούς τε ὑπάτους καὶ τὸν Πομπήϊον καὶ τὴν σύγκλητον ἅπασαν ἐξήγαγε τῆς Ῥώμης καὶ παρεσκεύασε καταφυγεῖν ἐπὶ τὴν Ἑλλάδα καὶ τὰς Ἠπείρους καὶ τὴν Μακεδονίαν. Ἀφηγουμένου δὲ τοῦ Πομπηΐου τῆς γνώμης, ὁ κατὰ τοῦ Καίσαρος ἐψηφίσθη πόλεμος.

20. Ἀλλ' ὁ Καῖσαρ, ἔρημον τὴν πόλιν εὑρών, δικτάτωρά τε ἑαυ-

4. *Ῥαβέρναις* ΑΜΣ : *ῥαβένναις* Ι : *Ἀρβέρναις* Δ  5. *ἀποθανεῖν* Π : *ἀπεθανεῖν* Δ  7. *ἑπτακοσιοστὸν ἔτος* Π : *καὶ ἐνενηκοστὸν ἔτος ἐπὶ τοῖς ἑξακοσίοις* ἔγραψε Δ κατὰ τὰ προταθέντα ὑπὸ Sylburg  *Λικίννιος* Π. Γραπτέον *Λικίνιος*  9. *μετὰ* ΜΣΔ : *καὶ μετὰ* ΑΜ  13. *λειπόμενον* Π : *λειπόμενον* Ι  20-21. *ἐπήγγειλε* ΙΣΔ : *ἐπήγγειλεν* Α : *ἐπήγγελεν τῇ δευτέρᾳ χειρὶ* ἐκ τοῦ *ἐπήγγεν* Μ  27. *παρεσκεύασε* Π : *παρεσκεύαζε* Α  30. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π  *εὑρὼν* ΙΣΔ : *εὑρὼν* ΑΜ  *δικτάτωρά* ΣΔ : *δικτάτωρα* ΑΜΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Σ.Δ τηρ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἐχειροτόνησε καὶ πρὸς τὰς Ἰσπανίας ἐχώρησε, καὶ νικᾷ μάχῃ τὸ στράτευμα τοῦ Πομπηΐου. Στρατηγοὶ δὲ ἦσαν αὐτῷ ἄνδρες ἄριστοι, Λούκιος Ἀφράνιος καὶ Μάρκος Πετρήϊος καὶ Μάρκος Βάρρων. Εἶτ' ἐκεῖθεν ἐπὶ τὴν Ἑλλάδα διαβὰς συνέμιξε Πομπηΐῳ, καὶ νικηθεὶς φυγῇ τε ἑαυτὸν ἐπιτρέψας, ἐπειδὴ τὴν νύκτα τὴν ἐπιοῦσαν οὐκ ἐπεξῆλθεν ὁ Πομπήϊος, ἔφη μήτε Πομπήϊον εἰδέναι νικᾶν αὐτόν τε τότε ἂν ἁλῶναι μόνον. Συλλέξας τοίνυν ἑαυτὸν καὶ τὰς δυνάμεις, συμπλέκεται τῷ Πομπηΐῳ πάλιν ἐν Παλαιοφαρσάλῳ τῆς Θεσσαλίας· καὶ γίγνεται μάχη πλήθει τε μεγίστη καὶ ταῖς προθυμίαις τῶν παρατεταγμένων. Ὁ μὲν γὰρ Πομπήϊος τεσσαράκοντα πεζῶν χιλιάδας ἐπεξῆγεν ἱππέας τε ἑκατὸν πρὸς τοῖς χιλίοις, καὶ συμμαχικὸν ἦν ἐκ τῶν ἑῴων παραγεγενημένον ὡς πλεῖστον· τῶν πολεμούντων τε αὐτῶν τὸ πλέον ἦν ἐκ τῆς ἐπιφανοῦς συμμορίας, συγκλητικῶν τε καὶ πραιτωρίων καὶ ὑπατικῶν καὶ τῶν ἐν ἐπαρχίαις πολέμους τε νενικηκότων καὶ τούτοις τὰ πολλὰ τῇ Ῥώμῃ κτησαμένων. Καῖσαρ δὲ τρισμυρίοις μὲν πεζοῖς ἐμάχετο, χιλίοις δὲ ἱππεῦσι.

21. Καὶ εἴ τις συναριθμήσειε τὰς ῥωμαϊκὰς στρατιάς, οὐδεπώποτε εὑρήσειε τοσοῦτον πλῆθος ἐκ τῆς Ῥώμης ἐν ὅπλοις γεγενημένον οὐδέ γε ὑπὸ στρατηγοῖς τοιούτοις· ὡς ὤφειλέν γε ἡ χεὶρ αὕτη μετὰ τούτων τῶν ἡγεμόνων καθ' ἑτέρων χωρεῖν· ῥᾷστα γὰρ ἂν τῆς γῆς ἁπάσης ἐβασίλευσαν. Γίγνεται δὴ καρτερὰ μάχη, καὶ μετὰ πολὺν τὸν κόπον ἡττᾶται Πομπήϊος. Καὶ τῶν μὲν παρεμβολῶν ὁ Καῖσαρ καθίσταται κύριος· καταφεύγει δὲ αὐτὸς ἐπὶ τὸν Αἰγύπτου βασιλέα Πτολεμαῖον, ᾧ μικρῷ πρόσθεν ὑπὸ τῆς συγκλήτου ἐδέδοτο κηδεμών, νεωτέρῳ ὄντι καὶ ὑποσπόνδῳ Ῥωμαίοις· ᾔτει τε παρ' αὐτοῦ συμμαχίαν. Ἀλλ' ἐκεῖνος, περὶ πλείονος ποιησάμενος τὴν τοῦ Καίσαρος εὐημερίαν τῆς πρὸς Πομπήϊον σχέσεως, ἀναιρεῖ τε αὐτόν, καὶ τὴν κεφαλὴν αὐτοῦ μετὰ τοῦ δακτυλίου πέμπει τῷ Καίσαρι. Τούτων ἡ θέα δάκρυσιν ἐτιμήθη παρὰ τοῦ Καίσαρος, ἀναμιμνησκομένου μὲν

1. *καὶ πρὸς — ἐχώρησε* ἐν συνεχείᾳ κειμένου Π : *καὶ πρὸς — ἐχώρησε* πρόσθετα τῇ δευτέρᾳ χειρὶ ἐν τῇ ὤᾳ Μ *Ἰσπανίας* ΣΔ : *ἰσπανίας* ΑΜΙ 3. *Ἀφράνιος* ΣΔ : *ἀφράνιος* ΑΜΙ 10. *ἐπεξῆγεν* Π : *ἐπεξῆγε* Μ 13. *ἐπιφανοῦς* Π : *ἐπιφανοῦς* ἐκ τοῦ *ἐπιφανοὺς* Μ 15. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 17. *στρατιὰς* Π : *στρατιὰς* ἐκ τοῦ *στρατιᾶς* τῇ δευτέρᾳ χειρὶ Λ *οὐδεπώποτε* ΙΣΔ : *οὐδὲ πώποτε* ΑΜ 19. *ὤφειλεν* Π : *ὤφειλε* Ι *μετὰ* Π : *κατὰ* Ι 22. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 24. *μικρῷ* ΑΜΙ : *μικρὸν* ΣΔ *κηδεμὼν* ΑΣΔ : *κηδεμόνι* ΜΙ
25. *ὑποσπόνδῳ* Π : *ὑπόσπονδοι* Μ

τὴν τοῦ ἀνδρὸς ἀρετήν, ἀλγοῦντες δὲ καὶ διὰ τὴν ἀπὸ τοῦ γάμου συγγένειαν· γαμβρὸς γὰρ ἦν αὐτῷ γεγενημένος.

22. Καταλαμβάνει τοίνυν τὴν Ἀλεξάνδρειαν ὁ Καῖσαρ. Ῥάπτοντος δὲ καὶ ἐπ' αὐτῷ τοῦ Πτολεμαίου τινὰς ἐπιβουλάς τε καὶ ἐνέδρας, ἐκινήθη πρὸς πόλεμον Καῖσαρ. Καὶ ἡττηθεὶς ὁ Πτολεμαῖος καὶ φυγὼν, ἐν ταῖς ὄχθαις τοῦ Νείλου τὸν βίον ἐτελεύτησεν, ὥςτε αὐτοῦ τὸν νεκρὸν, τῷ θώρακι κεκαλυμμένον ἔτι, προςκομισθῆναι τῷ Καίσαρι. Τότε τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν εἰςελθὼν καὶ τῶν πραγμάτων κύριος γενόμενος, τῇ τοῦ τετελευτηκότος ἀδελφῇ Κλεοπάτρᾳ τὴν βασιλείαν δέδωκεν, ἐξ αἰτίας αἰσχρᾶς αὐτῇ συνήθης γεγενημένος. Ἐπανιὼν δὲ ἐκεῖθεν Φαρνάκην τὸν Μιθριδάτου παῖδα, σύμμαχον ἐν τῇ κατὰ Θετταλίαν μάχῃ γεγενημένον τῷ Πομπηΐῳ, μάχῃ τε ἐνίκησεν, ἤδη ταῖς ῥωμαϊκαῖς ἐπιόντα πόλεσι ταῖς ὑπὸ τῷ Πομπηΐῳ γεγενημέναις, καὶ τέλος εἰς αὐτοφονίαν συνήλασεν.

23. Ἐπὶ τούτοις ἐπανῆκεν εἰς τὴν Ῥώμην, καὶ τρίτην ἐπήγγειλεν ὑπατείαν, μᾶλλον δὲ αὐτὸς ἑαυτὸν ἐχειροτόνησε καὶ σὺν αὐτῷ Μάρκον Αἰμίλιον Λέπιδον, ὃς ἦν αὐτῷ ἄρχων τῶν ἱππέων γεγενημένος, ὅτε αὐτὸς ἑαυτὸν δικτάτωρα κατέστησε μετὰ τὴν εἰς Ἑλλάδα τῆς συγκλήτου φυγήν. Ταῦτα πράξας ἐπὶ τῆς πόλεως, τὴν Ἀφρικὴν καταλαμβάνει· ἔνθα δὴ πολλοὶ τῶν ἐπιφανῶν ἀνδρῶν τῆς συγκλήτου τῆς ῥωμαϊκῆς, Ἰόβαν τὸν Μαύρων βασιλέα σύμμαχον λαβόντες, κατ' αὐτοῦ παρετάττοντο. Ἐπὶ τούτοις ἦσαν Πούβλιος Κορνήλιος Σκιπίων, ἀπόγονος τοῦ κληθέντος Ἀφρικανοῦ, κηδεστὴς δὲ Πομπηΐου, καὶ Μάρκος Πετρήιος καὶ Κύντος Βάρρων καὶ Μάρκος Πόρκιος Κάτων καὶ Λούκιος Κάτων καὶ Λούκιος Κορνήλιος Φαῦστος, Σύλλου παῖς. Γενομένης οὖν μάχης ἀμφηρίστου πολλάκις, ὕστερον ὁ Καῖσαρ ἐκράτησεν· καὶ ὁ Σκιπίων μὲν καὶ ὁ Πετρήιος καὶ Ἰόβας ἑαυτοὺς ἀνεῖλον, Φαῦστος δέ, κηδεστὴς ὢν ἐπὶ θυγατρὶ τοῦ Πομπηΐου, ταῖς τοῦ Καίσαρος ἀνῃρέθη χερσίν.

1. *διὰ* Π : λείπει Δ 3. *Καῖσαρ* ΑΔ : *Καίσαρ* ΜΙΣ 5. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 7. *τῷ* ΑΜΙ : λείπει ΣΔ *ἔτι* Π : *χρυσῷ ἔτι* Δ 17. *Αἰμίλιον* ΣΔ : *αἰμίλιον* ΑΜΙ *Λέπιδον* ΣΔ : *λεπίδιον* ΑΜΙ 18. *δικτάτωρα* ΣΔ : *δικτάτορα* ΑΜΙ 19. *φυγὴν* Π : *φυγὴν ἐκ τοῦ φυγὴν* Μ ταῦτα Π : ταῦτα δὲ Δ

21. *Ἰόβαν* ΑΣ : *Ἰώβαν* Ι : *ἰωβαν* Α : *ἰόωβαν* τοῦ μὲν ο διωρθωμένου ἐξ ἄλλου γράμματος ἀδιαγνώστου, τοῦ δὲ σημείου .˙. οὐδὲ ἔχοντος τὸ ἀντίστοιχον ἐν τῷ ὕφει 22 (καὶ 27). *Σκιπίων* Π : *σκηπίων* Α 24. *Βάρρων* Π : *βάρων* Ι

24. Ἐνιαυτῷ δὲ ὕστερον, πάλιν εἰς τὴν Ῥώμην ὁ Καῖσαρ τέταρτον ἑαυτῷ πραγματεύεται τὴν ἀρχήν· καὶ πρὸς τὰς Ἱσπανίας ὁρμηθεὶς, μεγίστην εὗρε παρασκευὴν πολέμου. Πομπήιοι γάρ, οἱ Πομπηίου παῖδες, ὅ τε Γνέος καὶ Σέξτος, πολλῇ στρατιᾷ συμμίξαντες, παρὰ μικρὸν μὲν ἦλθον νίκης, ὥστε, φευγόντων τῶν τοῦ Καίσαρος ὁπλιτῶν, αὐτὸν βουλεύσασθαι περὶ τῆς ἑαυτοῦ σφαγῆς. Οὐ γὰρ ἔφερε μετὰ τοσαύτας νίκας ὑπὸ νέοις γενέσθαι καὶ τῆς ἐκείνων χειρὸς, ἕκτον καὶ πεντηκοστὸν ἔτος γεγενημένος. Μεταγνοὺς δὲ καὶ ἑαυτὸν ἀναλαβὼν, κρατεῖ τῶν Πομπηιάδων μάχῃ· καὶ τὸν μὲν πρεσβύτερον ἀνεῖλε, τὸν δὲ ἄλλον εἰς φυγὴν ἔτρεψεν.

25. Οὐδενὸς οὖν τῆς ἐμφυλίου ταραχῆς λειψάνου [περιόντος], πρὸς τὴν Ῥώμην ἧκε μεγαλοφρονῶν, ὡς εἰκὸς, καὶ πολλὰ παρὰ τὴν ἐκ τοῦ παντὸς χρόνου τῆς πόλεως ἐλευθερίαν διεπράττετο, τὰς μὲν τιμὰς παρὰ τὸ τῷ κοινῷ δοκοῦν διδοὺς ὧν ὁ δῆμος ἦν ποτε κύριος τῇ συγκλήτῳ τε οὐχ ὑφιστάμενος τυράννου τε σαφῶς ἔργα ποιῶν. Ἐκίνησεν οὖν ἐφ᾽ ἑαυτὸν συνωμοσίαν· καὶ συστάντες ἄνδρες ἐκ τῆς συγκλήτου τε καὶ τῶν ἱππέων ἑξήκοντα ἐβουλεύσαντο αὐτῷ φόνον. Ἦσαν δὲ ἡγεμόνες τῆς τῶν ἀνδρῶν ἐκείνων συμμορίας οἵ τε δύο Βροῦτοι, τὴν διαδοχὴν ἔχοντες ἀπὸ τοῦ πρώτου τὴν ὑπατείαν σχόντος Βρούτου μετὰ τοὺς ἑπτὰ βασιλέας, καὶ Κάσιος καὶ Σερβίλιος Κάσκας. Σύγκλητος μὲν οὖν τηνικαῦτα ἦν· ἧκε δὲ ἐπὶ τὸ βουλευτήριον ὁ Καῖσαρ, ἐπελθόντων δὲ ἐκείνων σφάττεται· τρισὶ δὲ καὶ εἴκοσι πληγαῖς τελευτᾷ τὸν βίον.

## ΒΙΒΛΙΟΝ Ζ.

1. Ἔνατον οὖν καὶ ἑπτακοσιοστὸν ἔτος ἠνύετο τῇ πόλει μετὰ τὴν Καίσαρος σφαγήν. Ἐμφύλιος δὲ ἐκινεῖτο πόλεμος, τῆς μὲν συγκλήτου

1-2. *τέταρτον* ΑΜΙ : *[ἐπανελθὼν] τέταρτον* Σ : *ἐπανελθὼν τέταρτον* Δ  2. *Ἱσπανίας* Δ : *ἱσπανίας* ΑΜΙ : *Ισπανίας* Σ  4. *Γνέος* Π. Γραπτέον Γναῖος  9. *Πομπηιάδων* Π : *Πομπηϊάδων* διόρθωσις Δ  11. *περιόντος* προςἐθηκε Δ κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα : λείπει Π  15. *τῇ συγκλήτῳ* Π : *τῇ συγκλήτω ἐκ τῶν τὴν σύγκλητον* Μ  17. *τῶν ἱππέων* Π : *ἱππέων* Δ  *ἐβουλεύσαντο* ΑΜΣ : *ἐβουλεύσαντο* Ι : *ἐβουλαύσαντο* Δ  19. *Βροῦτοι* Π : *βροῦτοι ἐκ τοῦ βρούτοι* Μ  *ἔχοντες* ΣΔ : *ἐχόντες* ΑΜΙ  19-20. *σχόντος* ἔγραψα : *ἔχοντος* Π. Ὁ Sylburg εἶχε προτείνει *ἐσχηκότος* ἢ *σχόντος*  20. *Βρούτου* Π : *βρούτου ἐκ τοῦ βιούτου τῇ δευτέρᾳ χειρὶ* Α  22. *ἐπελθόντων* Π : *ἀπελθόντων* Μ

34. Ἐν τῇ ψα· *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ἰουλίου καίσαρος σφαγῆς ἔτη ψθ* ἐκ τοῦ ψα Μ) ΑΜ : λείπουσι ΙΣΔ  *ἔνατον* ΑΜ : *ἔννατον* ΙΣΔ

Ε.Υ.Δ.Π.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006